**ΤΑΞΗ:** Γ΄ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ
**ΚΑΤΕΥΘΥΝΣΗ:** ΘΕΩΡΗΤΙΚΗ
**ΜΑΘΗΜΑ:** ΑΡΧΑΙΑ

**Ημερομηνία: Κυριακή 27 Απριλίου 2014**
**Διάρκεια Εξέτασης: 3 ώρες**

---

# ΕΚΦΩΝΗΣΕΙΣ

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

### Πλάτωνος Πρωταγόρας (320e - 321d)

νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν, τοὺς δ' ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσῳζεν· καὶ τἆλλα οὕτως ἐπανισῶν ἔνεμεν. ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη· ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶν καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ [θριξὶν καὶ] δέρμασιν στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζεν, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν ζῴων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν

προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων.

ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν σχόμενος ὁ Προμηθεὺς ἥν τινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί—ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι—καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ.

## ΠΑΡΑΤΗΡΗΣΕΙΣ ΔΙΔΑΓΜΕΝΟΥ ΚΕΙΜΕΝΟΥ

**Α1.** Από το παραπάνω κείμενο να μεταφράσετε το απόσπασμα: **«Ταῦτα δὲ ἐμηχανᾶτο ... πορίζων».**

**Μονάδες 10**

**Β1α.** Να προσδιορίσετε το περιεχόμενο των παρακάτω όρων – φράσεων του κειμένου: **«ἐπανισῶν», «ἀκόσμητον», «εἱμαρμένη ἡμέρα».** (Μονάδες 9)

**Β1β.** **«τὴν ἔντεχνον σοφίαν σὺν πυρί - ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι ...»**: Να εξηγήσετε τη σχέση που υπάρχει ανάμεσα στην «ἔντεχνον σοφίαν» και το «πῦρ». (Μονάδες 6)

**Μονάδες 15**

**Β2.** Με βάση το κείμενο που σας δίνεται και το παρακάτω μεταφρασμένο απόσπασμα να εξηγήσετε ποια σκοπιμότητα εξυπηρετεί η επιλογή του μύθου από τον Πρωταγόρα και ποια υφολογικά χαρακτηριστικά του τον κάνουν «χαριτωμένο».

*«Όχι, Σωκράτη», είπε, «δεν θα σας αρνηθώ. Αλλά, τι προτιμάς από τα δύο; Να σας το αναλύσω με ένα μύθο, όπως κάνουν οι γεροντότεροι στους νέους, ή να αναπτύξω το ζήτημα σε μία διάλεξη;»*

*Πολλοί από αυτούς που κάθονταν κοντά είπαν αμέσως να αναπτύξει το θέμα με όποιον από τους δύο τρόπους θέλει.*

*«Εγώ νομίζω», είπε εκείνος, «πως είναι πιο χαριτωμένο να σας πω έναν μύθο».*

**Μονάδες 15**

**Β3.** Τι γνωρίζετε για τη σωκρατική διαλεκτική;

**Μονάδες 10**

**Β4.** Να γράψετε δύο ομόρριζες σύνθετες λέξεις της αρχαίας ή της νέας ελληνικής γλώσσας από το δεύτερο συνθετικό καθεμιάς από τις παρακάτω λέξεις του κειμένου: **ἤμπισχεν, ὑπάρχοι, προσῆψε, ἐπισκεψόμενος, ἐξιέναι.**

**Μονάδες 10**

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

### Αἰσχίνου, Κατά Τιμάρχου 77-78

Θεωρήσατε δέ, εἰ βούλεσθε, τὸ πρᾶγμα καὶ ἐκ πολιτικῶν τινων παραδειγμάτων, καὶ μάλιστα ἐκ τούτων ἃ νυνὶ μετὰ χεῖρας ἔχετε. γεγόνασι διαψηφίσεις ἐν τοῖς δήμοις, καὶ ἕκαστος ἡμῶν ψῆφον δέδωκε περὶ τοῦ σώματος, ὅστις Ἀθηναῖος ὄντως ἐστὶ καὶ ὅστις μή. καὶ ἔγωγε, ἐπειδὰν προσστῶ πρὸς τὸ δικαστήριον καὶ ἀκροάσωμαι τῶν ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ παρ᾽ ὑμῖν ἰσχύει. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος· "Ἄνδρες δικασταί, τουτουὶ κατεψηφίσαντο οἱ δημόται ὀμόσαντες, οὐδενὸς ἀνθρώπων οὔτε κατηγορήσαντος οὔτε καταμαρτυρήσαντος, ἀλλ᾽ αὐτοὶ συνειδότες," εὐθὺς θορυβεῖτε ὑμεῖς ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως· οὐδὲν γὰρ οἶμαι δοκεῖ προσδεῖσθαι ὑμῖν λόγου οὐδὲ μαρτυρίας, ὅσα τις σαφῶς οἶδεν αὐτός.

**προσίσταμαι:** στέκομαι κοντά σε κάποιον, παρουσιάζομαι

## ΠΑΡΑΤΗΡΗΣΕΙΣ ΑΔΙΔΑΚΤΟΥ ΚΕΙΜΕΝΟΥ

**Γ1.** Να γράψετε στο τετράδιό σας τη μετάφραση του παραπάνω κειμένου.

**Μονάδες 20**

**Γ2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

**χεῖρας:** τη δοτική πληθυντικού
**διαψηφίσεις:** τη γενική ενικού

**οὐδενὸς:** τη δοτική ενικού στο θηλυκό γένος

**κατηγορήσαντος:** τη δοτική πληθυντικού στο ίδιο γένος

**σαφῶς:** τον ίδιο τύπο στο συγκριτικό βαθμό

**προσστῶ:** το γ′ πληθυντικό πρόσωπο της οριστικής του ίδιου χρόνου στην ίδια φωνή

**ὁρῶ:** το α′ πληθυντικό πρόσωπο της ευκτικής του ίδιου χρόνου στην ίδια φωνή

**κατεψηφίσαντο:** το γ′ ενικό πρόσωπο της οριστικής του υπερσυντελίκου στην ίδια φωνή

**συνειδότες:** το β′ ενικό πρόσωπο της προστακτικής του ίδιου χρόνου

**τῷ κρινομένῳ:** το απαρέμφατο μέλλοντα της μέσης φωνής

**Μονάδες 10**

**Γ3α.** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω λέξεων:
**ἡμῶν, Ἀθηναῖος, τῶν ἀγωνιζομένων, ὡς οὐ μετὸν, προσδεῖσθαι.** (Μονάδες 5)

**Γ3β.** **"ἄνδρες δικασταί, τουτουὶ κατεψηφίσαντο οἱ δημόται ὀμόσαντες, οὐδενὸς ἀνθρώπων οὔτε κατηγορήσαντος οὔτε καταμαρτυρήσαντος, ἀλλ᾽ αὐτοὶ συνειδότες,":** να μεταφέρετε το παραπάνω χωρίο στον πλάγιο λόγο (και με τους δύο τρόπους) εξαρτώντας το από τη φράση «**Ὁ κατήγορος εἶπεν**». (Μονάδες 5)

**Μονάδες 10**

ΣΑΣ ΕΥΧΟΜΑΣΤΕ ΕΠΙΤΥΧΙΑ